**ΚΑΤΑ ΙΩΑΝΝΗΝ 20:19-23 SBL Greek New Testament (SBLGNT)**
**John 20**

19 Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ [a]μιᾷ σαββάτων, καὶ τῶν θυρῶν
κεκλεισμένων ὅπου ἦσαν οἱ [b]μαθηταὶ διὰ τὸν φόβον τῶν Ἰουδαίων,
ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν.
20 καὶ τοῦτο εἰπὼν [c]ἔδειξεν τὰς χεῖρας καὶ τὴν πλευρὰν [d]αὐτοῖς.
ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν κύριον. 21 εἶπεν οὖν αὐτοῖς [e]ὁ
Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέν με ὁ πατήρ, κἀγὼ πέμπω
ὑμᾶς. 22 καὶ τοῦτο εἰπὼν ἐνεφύσησεν καὶ λέγει αὐτοῖς· Λάβετε πνεῦμα
ἅγιον· 23 ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας [f]ἀφέωνται αὐτοῖς· ἄν τινων
κρατῆτε κεκράτηνται.